17/05/2026

Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής του Τυφλού

/ Ορθόδοξες Προβολές



Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής του Τυφλού: Ἰωάν. θ΄ 1-38 (17-5-2026)

Τῷ καιρῷ ἐκείνῳ, παράγων ὁ Ἰησοῦς, εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς. Καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Ῥαββί, τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ; Ἀπεκρίθη Ἰησοῦς· Οὔτε οὗτος ἥμαρτεν οὔτε οἱ γονεῖς αὐτοῦ, ἀλλ᾽ ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ. Ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με, ἕως ἡμέρα ἐστίν· ἔρχεται νὺξ ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι. Ὅταν ἐν τῷ κόσμῳ ὦ, φῶς εἰμι τοῦ κόσμου. Ταῦτα εἰπών, ἔπτυσε χαμαὶ καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισε τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ καὶ εἶπεν αὐτῷ· Ὕπαγε, νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ, ὃ ἑρμηνεύεται, ἀπεσταλμένος. Ἀπῆλθεν οὖν καὶ ἐνίψατο, καὶ ἦλθε βλέπων. Οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον, ὅτι τυφλὸς ἦν, ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν; Ἄλλοι ἔλεγον· ὅτι οὗτός ἐστιν. Ἄλλοι δὲ ὅτι ὅμοιος αὐτῷ ἐστιν. Ἐκεῖνος ἔλεγεν· Ὅτι ἐγώ εἰμι. Ἔλεγον οὖν αὐτῷ· Πῶς ἀνεῴχθησάν σου οἱ ὀφθαλμοί; Ἀπεκρίθη ἐκεῖνος, καὶ εἶπεν· Ἄνθρωπος, λεγόμενος Ἰησοῦς, πηλὸν ἐποίησε καὶ ἐπέχρισέ μου τοὺς ὀφθαλμοὺς καὶ εἶπέ μοι· Ὕπαγε εἰς

τὴν κολυμβήθραν τοῦ Σιλωάμ, καὶ νίψαι. Ἀπελθὼν δὲ καὶ νιψάμενος, ἀνέβλεψα. Εἶπον οὖν αὐτῷ· Ποῦ ἐστιν ἐκεῖνος; Λέγει· Οὐκ οἶδα. Ἄγουσιν αὐτὸν πρὸς τοὺς Φαρισαίους, τόν ποτε τυφλόν. Ἦν δὲ Σάββατον, ὅτε τὸν πηλὸν ἐποίησεν ὁ Ἰησοῦς καὶ ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς. Πάλιν οὖν ἠρώτων αὐτὸν καὶ οἱ Φαρισαῖοι, πῶς ἀνέβλεψεν. Ὁ δὲ εἶπεν αὐτοῖς· Πηλὸν ἐπέθηκέ μου ἐπὶ τοὺς ὀφθαλμούς, καὶ ἐνιψάμην, καὶ βλέπω. Ἔλεγον οὖν ἐκ τῶν Φαρισαίων τινές· Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ τοῦ Θεοῦ, ὅτι τὸ Σάββατον οὐ τηρεῖ. Ἄλλοι ἔλεγον· Πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν; Καὶ σχίσμα ἦν ἐν αὐτοῖς. Λέγουσι τῷ τυφλῷ πάλιν· Σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς; Ὁ δὲ εἶπεν· ὅτι προφήτης ἐστίν. Οὐκ ἐπίστευσαν οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι τυφλὸς ἦν καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀναβλέψαντος καὶ ἠρώτησαν αὐτούς, λέγοντες· Οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη; πῶς οὖν ἄρτι βλέπει; Ἀπεκρίθησαν δὲ αὐτοῖς οἱ γονεῖς αὐτοῦ καὶ εἶπον· Οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη· πῶς δὲ νῦν βλέπει οὐκ οἴδαμεν· ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμοὺς ἡμεῖς οὐκ οἴδαμεν· αὐτὸς ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε· αὐτὸς περὶ ἑαυτοῦ λαλήσει. Ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους· ἤδη γὰρ συνετέθειντο οἱ Ἰουδαῖοι, ἵνα, ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστόν, ἀποσυνάγωγος γένηται. Διὰ τοῦτο οἱ γονεῖς αὐτοῦ εἶπον· Ὅτι ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε. Ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν ἄνθρωπον, ὃς ἦν τυφλός, καὶ εἶπον αὐτῷ· Δὸς δόξαν τῷ Θεῷ· ἡμεῖς οἴδαμεν ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν. Ἀπεκρίθη οὖν ἐκεῖνος, καὶ εἶπεν· Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα ὅτι, τυφλὸς ὤν, ἄρτι βλέπω. Εἶπον δὲ αὐτῷ πάλιν· Τί ἐποίησέ σοι; πῶς ἤνοιξέ σου τοὺς ὀφθαλμούς; Ἀπεκρίθη αὐτοῖς· Εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι; Ἐλοιδόρησαν οὖν αὐτόν,καὶ εἶπον· Σὺ εἶ μαθητὴς ἐκείνου· ἡμεῖς δὲ τοῦ Μωϋσέως ἐσμὲν μαθηταί. Ἡμεῖς οἴδαμεν, ὅτι Μωϋσεῖ λελάληκεν ὁ Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. Ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς. Ἐν γὰρ τούτῳ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστί, καὶ ἀνέῳξέ μου τοὺς ὀφθαλμούς. Οἴδαμεν δὲ ὅτι ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει· ἀλλ᾽ ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει. Ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. Εἰ μὴ ἦν οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν. Ἀπεκρίθησαν, καὶ εἶπον αὐτῷ· Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; Καὶ ἐξέβαλον αὐτὸν ἔξω. Ἤκουσεν ὁ Ἰησοῦς, ὅτι ἐξέβαλον αὐτὸν ἔξω, καὶ εὑρὼν αὐτὸν εἶπεν αὐτῷ· Σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ; Ἀπεκρίθη ἐκεῖνος καὶ εἶπε· Τίς ἐστι, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· Καὶ ἑώρακας αὐτὸν καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν. Ὁ δὲ ἔφη· Πιστεύω, Κύριε· καὶ προσεκύνησεν αὐτῷ.

Απόδοση σε νεοελληνική το Ευαγγελικό Ανάγνωσμα της Κυριακής του

Τυφλού

Καθώς ὁ Ἰησοῦς περνοῦσε ἀπό τό κέντρο τῆς πόλε-ως, εἶδε ἕναν ἄνθρωπο πού εἶχε γεννηθεῖ τυφλός. 2 Τότε οἱ μαθητές του τόν ρώτησαν: Διδάσκαλε, ποιός ἁμάρτησε γιά νά γεννηθεῖ ὁ ἄν-θρω--πος αὐτός τυφλός; Ἁμάρ-τησε ὁ ἴδιος, ὅταν ἦταν ἀκόμη μέσα στήν κοι-λιά τῆς μητέρας του, ἤ ἁμάρ-τησαν οἱ γονεῖς του καί τιμω-ρεῖ-ται αὐτός γιά τίς ἁμαρτίες τους; 3 Κι ὁ Ἰησοῦς τούς ἀπάντησε: Οὔτε αὐτός ἁμάρτησε, οὔτε οἱ γονεῖς του. Ἀλλά γεννήθηκε τυφλός γιά νά φα--νε---ρω-θοῦν μέ τήν ὑπερφυσική θεραπεία τῶν ματιῶν του τά ἔργα πού ἐπιτελεῖ ἡ δύναμη καί ἡ ἀγα-θό--τητα τοῦ Θε-οῦ. 4 Ἐγώ, ὅσο ζῶ στή ζωή αὐτή, πρέπει νά ἐρ-γά-ζομαι γιά τή σωτηρία τοῦ ἀνθρώπου τά ἔργα τοῦ Θεοῦ, πού μέ ἔστειλε στόν κόσμο. Ἔρχεται ὅμως ἡ μέλλουσα ζω-ή, καί ὅπως στή διάρκεια τῆς νύχτας στα-μα---τοῦν τά ἔρ--γα τους οἱ ἄνθρωποι, ἔτσι καί τότε κα-νείς πιά δέν θά μπορεῖ νά ἐργάζεται γιά νά ὁλο-κληρώσει τήν ἀπο---στο--λή του. Δέν πρέπει λοιπόν οὔτε στιγ--μή νά χά-νω. 5 Ἐφόσον εἶμαι στόν κόσμο, εἶμαι φῶς τοῦ κόσμου μέ τή διδασκαλία καί τά θαύματά μου. 6 Κι ἀφοῦ εἶπε αὐτά, ἔφτυσε κάτω καί ἔκανε πηλό, καί ἔχρισε μ’ αὐτόν τά μάτια τοῦ τυφλοῦ. 7 Καί δοκιμάζοντας τήν πίστη τοῦ τυφλοῦ τοῦ εἶπε: Πήγαινε, νίψου στή στέρνα τοῦ Σιλωάμ, ὄνομα ἑβραϊκό πού μεταφράζεται «ἀπεσταλμένος». Ὕστερα λοιπόν ἀπό τήν ἐντολή αὐτή τοῦ Ἰησοῦ πῆγε ὁ τυφλός ἐκεῖ καί νίφτη-κε, καί ἦλθε στό σπίτι του μέ μάτια ὑγιή. 8 Τότε οἱ γείτονες κι ὅσοι τόν ἔβλεπαν προηγουμένως ὅτι ἦταν τυφλός, ἔλεγαν: Δέν εἶναι αὐτός πού κα--θόταν καί ζητοῦσε ἀπό τούς διαβάτες ἐλεημοσύνη; 9 Μερικοί ἔλεγαν: Αὐτός εἶναι. Ἄλλοι ὅμως ἔλεγαν ὅτι δέν εἶναι αὐτός, ἀλλά κάποιος ἄλλος πού τοῦ μοιάζει. Ὁ ἴδιος ἔλεγε ὅτι ἐγώ εἶμαι ὁ τυφλός πού παλιότε--ρα ζητοῦσα ἐλεημοσύνη. 10 Μετά λοιπόν ἀπό τή βεβαίωση αὐτή τοῦ τυφλοῦ τόν ρώ-τησαν ἐκεῖνοι: Πῶς θεραπεύθηκαν τά μάτια σου; 11 Κι ἐκεῖνος τούς ἀπάντησε: Ἕνας ἄνθρωπος πού ὀνο---μάζεται Ἰησοῦς ἔκανε πηλό καί μοῦ ἄλειψε μ’ αὐτόν τά μάτια καί μοῦ εἶπε: Πήγαινε στήν κολυμβήθρα τοῦ Σι-λωάμ καί νίψου. Πῆγα λοιπόν ἐκεῖ καί νίφτηκα, καί βρῆ-κα τό φῶς μου. 12 Μετά ἀπό τήν πληροφορία αὐτή τοῦ τυφλοῦ πού εἶχε θεραπευθεῖ τοῦ εἶπαν οἱ Ἰουδαῖοι: Ποῦ εἶναι ἐκεῖ-νος; Δέν ξέρω, τούς ἀπάντησε. 13 Τόν ὁδήγησαν τότε στούς Φαρισαίους, αὐτόν πού ἦταν κάποτε τυφλός καί εἶχε ἤδη θεραπευθεῖ ὁριστικά. 14 Ἡ ἡμέρα μάλιστα πού ἔφτιαξε ὁ Ἰησοῦς τόν πηλό καί τοῦ ἄνοιξε τά μάτια ἦταν Σάββατο. 15 Ὅταν λοιπόν τόν ὁδήγησαν στούς Φαρισαίους, ἄρ-χι--σαν κι αὐτοί νά τόν ἀνακρίνουν καί νά τόν ρωτοῦν πά--λι πῶς θεραπεύθηκε καί βρῆκε τό φῶς του. Κι ἐκεῖ----νος τούς εἶπε: Αὐτός πού μέ θεράπευσε μοῦ ἔβαλε πη---λό πάνω στά μάτια μου καί μετά ἐγώ πλύθηκα καί βλέ-----πω. 16 Μερικοί ἀπό τούς Φαρισαίους ἔλεγαν: Αὐ-τός ὁ ἄν-θρω-πος δέν μπορεῖ νά εἶναι σταλμένος ἀπό τόν Θεό, διότι δέν τηρεῖ τήν ἀργία τοῦ Σαββάτου. Ἄλλοι ἔλεγαν: Πῶς εἶ-ναι δυνατόν ἕνας ἄνθρωπος ἁμαρτωλός νά κάνει τέτοια ἀποδεικτικά καί σημαδιακά

θαύματα; Καί δια-φω-νοῦ-σαν μεταξύ τους. 17 Κι ἐπειδή ἡ διαφωνία τους συνεχιζόταν, ἄρχισαν πάλι νά ἐξετάζουν τόν τυφλό, καί τόν ρώτησαν: Ἐσύ τί λές γιά τόν ἄνθρωπο αὐτό; Πρέπει νά ἀκουστεῖ καί ἡ δι-κή σου γνώμη· διότι τά δικά σου μάτια θεράπευσε ἐκεῖ-νος κι ἐσύ περισσότερο ἀπό κάθε ἄλλον γνωρίζεις τά περι-στατικά τῆς θεραπείας σου. Κι αὐτός τούς ἀπά-ντη--σε: Ἐγώ λέω ὅτι εἶναι προφήτης. 18 Μετά λοιπόν ἀπό τόν χαρακτηρισμό αὐτό πού ἔδωσε γιά τόν Ἰησοῦ ὁ τυφ-λός πού θεραπεύθηκε, οἱ Ἰουδαῖοι δυ-σαρεστήθηκαν. Δέν ἐννοοῦσαν νά πιστέψουν ὅτι αὐ-τός ἦταν τυφλός καί ἀπέκτησε πραγ-ματικά τό φῶς του· ὥσπου ἀποφάσισαν νά καλέσουν τούς γονεῖς τοῦ ἀν-θρώ-που αὐτοῦ πού ἀπέκτησε τό φῶς του. 19 Καί τούς ρώτησαν: Αὐτός εἶναι ὁ γιός σας, πού ἐπι-μέ--νετε νά βεβαιώνετε ὅτι γεννήθηκε τυφλός; Πῶς λοιπόν, ἀφοῦ γεννήθηκε τυφλός, τώρα βλέπει; 20 Οἱ γονεῖς του τότε τούς ἀποκρίθηκαν: Γνωρίζουμε κα--λά ὅτι αὐτός εἶναι ὁ γιός μας καί ὅτι γεννήθηκε τυφλός. 21 Πῶς ὅμως τώρα βλέπει δέν ξέρουμε. Ἤ ποιός τοῦ θεράπευσε καί τοῦ ἄνοιξε τά μάτια, ἐμεῖς δέν ξέρουμε. Αὐτός δέν εἶναι μικρό παιδί, ἔχει ὥριμη ἡλικία, καί συ-νε-πῶς ἀντιλήφθηκε πῶς καί ἀπό ποιόν ἔγινε ἡ θεραπεία του. Αὐτόν λοιπόν ρω-τῆ-στε, αὐτός μπορεῖ νά μιλήσει γιά τόν ἑαυτό του καί θά σᾶς πεῖ τί τοῦ συνέβη. 22 Καί μίλησαν μέ τόν τρόπο αὐτό οἱ γονεῖς τοῦ τυ-φλοῦ, ἐπειδή φοβοῦνταν τούς Ἰουδαίους ἄρχοντες. Δι-ό--τι αὐτοί πρίν ἀπό πολύ καιρό εἶ---χαν συμ-φω-νήσει νά ἀποκηρυχθεῖ, νά ἀφορισθεῖ καί νά ἀπο-δι-ωχθεῖ ἀπό τή συναγωγή ὅποιος θά τολμοῦσε νά ὁμο-λο-γήσει ὅτι ὁ Ἰησοῦς εἶναι ὁ Μεσσίας. 23 Ἐπειδή λοιπόν φοβοῦνταν οἱ γονεῖς του μήπως ἀπο-δι-ωχθοῦν κι αὐτοί ἀπό τή συναγωγή, γι’ αὐτό εἶ-παν ὅτι ἔχει ὥριμη ἡλικία ὁ γιός μας, αὐτόν ρωτῆστε. 24 Ἀφοῦ λοιπόν οἱ Ἰουδαῖοι δέν μπόρεσαν νά πλη-ρο-φο---ρηθοῦν τίποτε ἀπό τούς γονεῖς τοῦ τυφλοῦ γιά νά δι---α-----ψεύσουν τή θεραπεία του ἤ γιά νά κατακρίνουν τόν Ἰησοῦ, κάλεσαν γιά δεύτερη φορά τόν ἄνθρωπο πού ἦταν τυφλός καί τοῦ εἶπαν: Δόξασε τόν Θεό ὁμο----------λο-γώντας ὅτι πλανήθηκες καί ἀναγνωρίζοντας τήν ἀλή----------θεια γι’ αὐτόν πού σέ θεράπευσε. Ἐμεῖς λόγῳ τῆς θέ----σεως καί τοῦ ἀξιώματός μας ξέρουμε καλά ὅτι ὁ ἄν-θρω----------πος αὐτός πού καταλύει τήν ἀργία τοῦ Σαβ-βά-του εἶ----ναι ἁμαρτωλός. 25 Ἐκεῖνος τότε τούς ἀπάντησε: Ἐάν ὁ ἄν-θρωπος αὐ-τός εἶναι ἁμαρτωλός δέν τό ξέρω, καί γι’ αὐτό ἀπο-φεύ-γω νά ἐκ-φράσω γνώμη γι’ αὐτό. Ξέρω ὅμως καλά ἕνα πράγμα, ὅτι δηλαδή ἐνῶ λίγο πιό πρίν ἤμουν τυφλός, τώ-ρα βλέ-πω. 26 Ἐπειδή ὅμως ἡ νέα αὐτή βεβαίωση τοῦ πρώην τυ-φλοῦ δέν τούς ἄρεσε, τοῦ εἶπαν πά-λι: Τί σοῦ ἔκανε; Πῶς σέ θεράπευσε καί πῶς σοῦ ἄνοιξε τά μάτια; 27 Μόλις πρίν ἀπό λίγο σᾶς τό εἶπα, τούς ἀπάντησε, καί δέν θελήσατε νά προσέξετε καί νά παραδε-χθεῖ-τε ὅ,τι σᾶς εἶπα. Γιατί τώρα θέλετε νά ἀκούσετε πάλι τά ἴδι--α; Μήπως θέλετε κι ἐσεῖς νά γίνετε μαθητές του; 28 Τότε τοῦ μίλησαν ὑβριστικά καί περιφρονητι-κά καί τοῦ εἶπαν: Ἐσύ εἶσαι μαθητής ἐκείνου. Ἐμεῖς ὅμως εἴμα-στε μαθητές τοῦ Μωυσῆ. 29 Ἐμεῖς, πού εἴμαστε σπουδασμένοι καί ἀναγνω-ρι-σμέ--νοι ἄρχοντες τοῦ ἔθνους, ξέρουμε ὅτι ὁ Θεός

ἔχει μιλήσει στό Μωυσῆ καί σέ κανέναν ἄλλον. Αὐτός μᾶς εἶναι ἄγνωστος καί δέν ξέρουμε ἀπό ποῦ εἶναι καί ἀπό ποῦ στάλθηκε. 30 Τότε αὐτός τούς ἀπάντησε: Ἀλλά αὐτό ἀκριβῶς τό γεγονός προκαλεῖ θαυμασμό καί ἔκ-πλη-ξη! Ὅτι δηλαδή ἐσεῖς δέν ξέρετε τόν ἄνθρωπο αὐτό ἐάν ἔχει σταλεῖ ἀπό τόν Θεό καί ἀπό ποῦ εἶναι, καί ὅμως αὐτός ὁ ἄγνωστος σέ σᾶς μοῦ ἄνοιξε τά μάτια. 31 Εἶναι ὅμως γνωστό καί τό ξέρουμε ὅλοι ὅτι ὁ Θεός δέν ἀκούει τούς ἁμαρτωλούς. Ἀλλά ἐάν κάποιος σέβεται τόν Θεό καί ἐφαρμόζει τό θέλημά του, αὐτόν ὁ Θεός τόν ἀκούει. 32 Ἀπό τότε πού ἔγινε ὁ κόσμος δέν ἀκούστηκε ποτέ νά ἔχει θεραπεύσει κανείς μάτια ἀνθρώπου πού νά ἔχει γεννη-θεῖ τυφλός. Πρώτη φορά ἔγινε τέτοιο θαῦμα, καί αὐτός πού τό ἔκανε πρέπει νά ἔχει θεϊκή ἀποστολή. 33 Ἐάν ὁ ἄνθρωπος αὐτός δέν ἦταν ἀπεσταλμένος ἀπό τόν Θεό, δέν θά μποροῦσε νά κάνει τίποτε, οὔτε τό παραμικρό θαῦμα. 34 Τοῦ ἀποκρίθηκαν τότε ἐκεῖνοι: Ἐσύ γεννήθηκες βουτηγμένος ὁλόκληρος στήν ἁμαρτία, ὅπως ἀποδεικνύεται ἀπό τήν τύφλωση πού εἶχες ἀπ’ τήν κοιλιά τῆς μητέρας σου. Καί σύ ὁ ἄθλιος καί ἁμαρτωλός κάνεις τό δάσκαλο σέ μᾶς, πού εἴμαστε οἱ πιό σπουδαγμένοι ἀπ’ ὅλους τούς Ἰουδαίους; Καί τόν πέταξαν ἔξω ἀπ’ τόν τόπο πού συ--νεδρί-α------ζαν, σκοπεύοντας νά τόν ἀφορίσουν καί νά τοῦ ἀπα-γο---ρεύσουν νά συμμετέχει πλέον στίς λατρευτικές τελετές τοῦ ναοῦ. 35 Στό μεταξύ ἄκουσε ὁ Ἰησοῦς ὅτι τόν πέταξαν ἔξω γιά τήν παρρησία μέ τήν ὁποία διεκήρυττε τήν ἀλήθεια, καί ἀφοῦ τόν βρῆκε, τοῦ εἶπε: Ἐσύ, ἀντίθετα μέ τούς ἄπι--στους Ἰουδαίους, πιστεύεις στόν Υἱό τοῦ Θεοῦ; 36 Κι ἐκεῖνος τοῦ ἀποκρίθηκε: Καί ποιός εἶναι αὐτός, Κύριε, γιά νά τόν πιστέψω; 37 Τοῦ εἶπε τότε ὁ Ἰησοῦς: Μά τόν ἔχεις κιόλας δεῖ μέ τά μάτια σου. Αὐτός πού μιλάει αὐτή τή στιγμή μαζί σου, αὐτός εἶναι ὁ Υἱός τοῦ Θεοῦ. 38 Τότε ἐκεῖνος εἶπε: Πιστεύω, Κύριε. Καί τόν προσκύνησε ὡς Υἱό τοῦ Θεοῦ καί Κύριο.

(ΕΡΜΗΝΕΙΑ Π. Ν. ΤΡΕΜΠΕΛΑ)